№ 386.

9

ἔγινε τῇ Ἀποδ. Σεραφείμ Ναύπλιον 1828

Γκ. 535

ἐν

Πόλεμος

Ἐπιδρομαὶ Ἐθνῶν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΕΙΣ ΔΟΞΑΝ ΤΗΣ ΑΓΙΑΣ,

ΚΑΙ ΟΜΟΟΥΣΙΟΥ, ΚΑΙ ΑΔΙΑΙΡΕΤΟΥ ΤΡΙΑΔΟΣ,
ΠΑΤΡΟΣ, ΥΙΟΥ, ΚΑΙ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ,
ΑΜΗΝ.

Συναπταὶ, καὶ Ἐκτενεῖς λεγόμεναι ἐν καιρῷ πολέμου κατ᾽ ἐθνῶν ἐπερχομένων ἡμῖν, καὶ Παράκλησις εὐχαριστήριος, μεταφρασθεῖσαι ἀπὸ τῆς Ῥωσσικῆς εἰς τὴν Ἑλληνικὴν διάλεκτον, ἐπιταγῇ μὲν τοῦ Πανιερωτάτου Μητροπολίτου, καὶ Ἐξάρχου πάσης Μολδαβίας, Βαλαχίας, καὶ Βατσαραβίας, Κυρίου Γαβριήλ. Καὶ ἐς Τύπον νῦν πρῶτον ἐκδοθεῖσαι δαπάνῃ τῆς αὐτοῦ Πανιεροτήτος, χάριν τῶν ἐν Μολδοβλαχίᾳ Γραικῶν, Ἐπιμελείᾳ δὲ τοῦ Πανιερωτάτου Γρηγορίου Μητροπολίτου Εἰρηνεπόλεως τοῦ καὶ Προεστῶτος τοῦ Ἱεροῦ Μοναστηρίου τῆς τοῦ Χριστοῦ Ἀναλήψεως, τοῦ λεγομένου Γόλια.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΠΑΣΤΡΑΤΟΥ

---

Ἐν ἔτει, ͵αωθ.
Ἐν τῇ Θεοφρουρήτῳ Πόλει ΙΑΣΙῼ.
Ἐν τῇ Τυπογραφίᾳ τῆς ἐν Ἰασσίῳ Μητροπόλεως.




# ΣΥΝΑΠΤΑΙ ΜΕΓΑΛΑΙ

## ΚΑΙ ΕΚΤΕΝΕΙΣ ΥΠΕΡ ΝΙΚΗΣ ΤΟΥ ΧΡΙΣΤΩΝΥΜΟΥ ΣΤΡΑΤΟΥ ΚΑΤΑ ΤΩΝ ΠΟΛΕΜΙΩΝ.

## ΑΙΤΙΝΕΣ ΛΕΓΟΝΤΑΙ ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ, ΟΡΘΡΩ, ΚΑΙ ΛΕΙΤΟΥΡΓΙΑ.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Ὁ Διάκονος, ἢ ἂν μὴ παρῇ, ὁ Ἱερεύς,

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορὸς τό, Κε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος Κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς ἁγίας διοικούσης Συνόδου, (α) καὶ τοῦ Πανιερωτάτου

Α.

---

(α) Ἰστέον, ὅτι ἐν ταῖς μεγάλαις συναπταῖς, καὶ ἐκτενέσι, ἔν τε τῷ Ἑσπερινῷ, Ὄρθρῳ, καὶ Λειτουργίᾳ, προτάττεται ἡ ἁγιωτάτη Διοικοῦσα Σύνοδος τῶν Γαληνοτάτων Βασιλικῶν ὀνομάτων. Ἐν δὲ τῇ Μεγάλῃ Εἰσόδῳ προηγοῦνται τὰ Γαληνότατα ὀνόματα, ὡς ἡ Ἐκκλησιαστικὴ διατύπωσις καὶ τάξις διαλαμβάνει.

...ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ-ΠΑΠ...

τάτου Μητροπολίτου ἡμῶν καὶ Ἐξάρχου Γαβριήλ, τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου, καὶ τοῦ λαοῦ. Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Εὐσεβεστάτου Αὐτοκρατορικωτάτου Μεγάλου Κυρίου ἡμῶν Ἰμπεράτορος πάσης Ῥωσσίας ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΥΛΙΔΟΥ, Καὶ τῆς εὐσεβεστάτης αὐτοῦ Συζύγου Κυρίας Ἰμπερατορίσσης ΕΛΙΣΑΒΕΤ ΑΛΕΞΙΑΔΟΣ, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς μητρὸς αὐτοῦ εὐσεβεστάτης Κυρίας Ἰμπερατορίσσης ΜΑΡΙΑΣ ΘΕΟΔΩΡΙΔΟΣ, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς Κυρίου Καισαρίδου καὶ Μεγάλου Δουκὸς ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ τῆς Συζύγου αὐτοῦ εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΘΕΟΔΩΡΙΔΟΣ. Καὶ ὑπὲρ τῶν εὐσεβῶν Κυρίων Μεγάλων Δουκῶν ΝΙΚΟΛΑΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ ΜΙΧΑΗΛ ΠΑΥΛΙΔΟΥ, καὶ τῆς εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΜΑΡΙΑΣ ΠΑΥΛΙΔΟΣ, καὶ τοῦ Συζύγου αὐτῆς. Καὶ ὑπὲρ τῆς εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΙΚΑΤΕΡΙΝΗΣ ΠΑΒΛΙΔΟΣ, καὶ τοῦ Συζύγου αὐτῆς. Καὶ ὑπὲρ τῆς εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΠΑΥΛΙΔΟΣ, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, Τοῦ Κυ. δεηθῶμεν.

Εἶτα συνάψεις καὶ τάδε.

Ὑπὲρ τοῦ μὴ ἀναμνησθῆναι τὰς ἁμαρτίας καὶ ἀνομίας ἡμῶν.





ἀλλ' εὔσπλαγχνον, καὶ ἐλεήμονα γενέσθαι ἡμῖν τοῖς ἀναξίοις δούλοις αὐτοῦ, τοῖς εἰς τὴν παντοδύναμον αὐτοῦ βοήθειαν καταφεύγουσι, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δοῦναι δύναμιν καὶ ἰσχὺν τῷ φιλοχρίστῳ στρατῷ, καὶ τοῦ ἀναδεῖξαι αὐτὸν ἀνδρεῖον καὶ γενναῖον κατὰ τῶν ὑπεναντίων, καὶ δωρήσασθαι τοῖς δούλοις αὐτοῦ εἰρήνην καὶ ἀκλινῆ στερέωσιν, Καὶ πασῶν θλίψεων, ἀναγκῶν τε καὶ ἐπιβουλῶν τοῦ ἐχθροῦ τελείαν ἀπαλλαγήν, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ κατασκηνῶσαι ἐν τῇ γῇ ἡμῶν εἰρήνην καὶ δόξαν, καὶ ῥύσασθαι ἡμᾶς ἐκ πασῶν τῶν ἐπιβουλῶν τοῦ ἐχθροῦ καὶ κινδυνωδῶν ἐπιδρομῶν, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταισχῦναι τὸ τῶν πολεμούντων ἡμᾶς βασίλειον τῶν μὴ ἀνεχομένων ἰδεῖν τὸν Σταυρόν, καὶ δοξάσαι τὸν Σταυροφόρον ἡμῶν Ἄνακτα, καὶ τὸν λαὸν αὐτοῦ ἐν τῇ κατ' αὐτῶν νίκῃ, τῇ δυνάμει τοῦ Σταυροῦ, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακοῦσαι ἐκ τῆς ἁγίας αὐτοῦ ἐκκλησίας φωνῆς, καὶ ἀναστεναγμοῦ τῶν ὁμοπίστων ἡμῶν τῶν ἐν αἰχμαλωσίᾳ ὄντων δούλων αὐτοῦ, καὶ ῥύσασθαι αὐτοὺς ἐκ τῆς ἐπικειμένης δουλείας πρὸς αὐτὸν βοώντων, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, Τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς, τῇ σῇ χάριτι. Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός. Σοὶ Κύριε.

Ἐκφώνησις.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Συναπτὴ Μεγάλη.

Ἐν εἰρήνῃ Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τὰ λοιπὰ μέχρι τοῦ, Ὑπὲρ πλεόντων.

Ἔπειτα ἄρχεται τῶν ἑξῆς,

Ὑπὲρ τοῦ θεῖναι τόξον χαλκοῦν τὸν βραχίονα τῶν εὐσεβῶν, καὶ τὴν δεξιὰν αὐτῶν ἐνισχῦσαι τῇ δυνάμει τῆς ἰσχύος αὐτοῦ εἰς καταπάτημα, καὶ κατατρόπωσιν τῶν πολεμίων, Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορὸς τό, Κύριε ἐλέησον.

Ὑπὲρ τοῦ ἐνισχῦσαι τὸν λαὸν αὐτοῦ καὶ τὸ χριστώνυμον στρατόπεδον ἡμῶν, ὀχυρῶσαι, δυναμῶσαι, καὶ κραταιῶσαι αὐτὸ εἰς συντριβὴν καὶ καταπολέμησιν τῶν ὑπεναντίων, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς, καὶ τὸ στρατόπεδον ἡμῶν, ἐκ τῶν ἐχθρῶν ἡμῶν καὶ τῶν μεθοδειῶν, μηχανημάτων, καὶ διαβουλιῶν αὐτῶν Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ



Ὑπὲρ τοῦ πληρῶσαι αἰσχύνης καὶ ἀτιμίας τὰ πρόσωπα τῶν ὑπεναντίων ἡμῶν καὶ τὰς καρδίας αὐτῶν φόβου, ἐκστάσεώς τε καὶ δειλίας, καὶ ἄγγελον Κυρίου καταδιώκοντα εἶναι, καὶ πατάσσοντα αὐτούς, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταισχῦναι τὸ τῶν πολεμούντων ἡμᾶς βασίλειον, τῶν μὴ ἀνεχομένων ἰδεῖν τὸν Σταυρόν, καὶ δοξάσαι τὸν σταυροφόρον ἡμῶν Ἄνακτα, καὶ τὸν λαὸν αὐτοῦ ἐν τῇ κατ᾽ αὐτῶν νίκῃ τῇ δυνάμει τοῦ Σταυροῦ, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακοῦσαι ἐκ τῆς ἁγίας αὐτοῦ ἐκκλησίας φωνῆς ἀναστεναγμοῦ τῶν ἐν αἰχμαλωσίᾳ ὄντων ἀδελφῶν ἡμῶν, καὶ ῥυσθῆναι αὐτοὺς ἐκ τῆς ἐπικειμένης δουλείας πρὸς αὐτὸν βοώντων, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, Καὶ τὰ λοιπά.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, Καὶ τὰ λοιπά.
Τῆς παναγίας Ἀχράντου, ὑπερευλογημένης, καὶ τὰ λοιπά.

Ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΣΥΝΑΠΤῊ ΜΕΓΆΛΗ.

Ἐν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορὸς τό, Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τὰ λοιπὰ μέχρι τοῦ, Ὑπὲρ πλεόντων.

Ἔπειτα συναπτέον εὐθὺς τὰ ἑξῆς.

Ὑπὲρ τοῦ συντρίψαι τὴν ῥομφαίαν, τὰ ὅπλα, καὶ τὸ στρατόπεδον τῶν ἐπερχομένων ἡμῖν, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας τοῦ φιλοχρίστου στρατοῦ αὐτούς, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ μὴ παραδοθῆναι ἡμᾶς τοῖς ἐχθροῖς καὶ πολεμίοις ἡμῶν ἐκ τῆς δικαίας αὐτοῦ ὀργῆς, ἀλλ' εἰς φυγὴν μεταποιῆσαι τὸ θράσος αὐτῶν καὶ τὴν δύναμιν αὐτῶν συντριβῆναι ὑπὸ τοὺς πόδας ἡμῶν, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ κατισχῦσαι τὸν φιλάγιον καὶ εὐσεβέστατον ἡμῶν Αὐτοκράτορα, καὶ τὸν λαὸν αὐτοῦ κατὰ τῶν ἐχθρῶν, τῶν μὴ δεχομένων τιμὴν καὶ δύναμιν θαυμάτων τῶν ἁγίων, παρὰ τοῦ ἐν ἁγίοις δοξαζομένου, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταισχῦναι τὸ τῶν πολεμούντων ἡμᾶς βασίλειον, τῶν μὴ ἀνεχομένων ἰδεῖν τὸν σταυρόν, καὶ δοξάσαι τὸν σταυροφόρον ἡμῶν Ἄνακτα, καὶ τὸν λαὸν αὐτοῦ ἐν τῇ κατ' αὐτῶν νίκῃ, τῇ δυνάμει τοῦ σταυροῦ, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἐπακοῦσαι ἐκ τῆς ἁγίας αὐτοῦ ἐκκλησίας φωνῆς καὶ ἀναστεναγμοῦ τῶν ἐν αἰχμαλωσίᾳ ὄντων ἀδελφῶν ἡμῶν, καὶ ῥύσασθαι αὐτοὺς ἐκ τῆς ἐπικειμένης δουλείας πρὸς αὐτὸν βοώντων, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως. Καὶ τὰ λοιπά.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, Καὶ τὰ λοιπά.



Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης. Καὶ τὰ λοιπά.

Ἐκφώνως.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΚΤΕΝΕΙΣ ΜΕΤΑ ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ ΕΝ ΤΗ ΘΕΙΑ Λειτουργίᾳ, ὡσαύτως καὶ εἰς τὸν ἑσπερινόν, Καὶ εἰς τὸν Ὄρθρον.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν, εἴπωμεν.

Ὁ χορός, Κύριε ἐλέησον, γ.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ὁ χορὸς Κύριε ἐλέησον, γ.

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ὁ χορὸς Κύριε ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Εὐσεβεστάτου Αὐτοκρατορικωτάτου Μεγάλου Κυρίου ἡμῶν Ἰμπεράτορος πάσης Ῥωσσίας ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΥΛΙΔΟΥ, Κράτους, νίκης, Διαμονῆς, Ὑγείας, καὶ σωτηρίας Αὐτοῦ, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι Αὐτὸν ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας Αὐτοῦ, πάντα ἐχθρὸν καὶ πολέμιον.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Ἐν εἰρήνῃ τȣ̃ Κυρίȣ δεηθῶμεν.

Ὁ χορὸς τὸ, Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τὰ λοιπὰ μέχρι τȣ̃, Ὑπὲρ πλεόντων.

Ἔπειτα συναπτέον εὐθὺς τὰ ἑξῆς.

Ὑπὲρ τȣ̃ συντρίψαι τὴν ῥομφαίαν, τὰ ὅπλα, καὶ τὸ στρατόπεδον τῶν ἐπερχομένων ἡμῖν, καὶ ὑποτάξαι ὑπὸ τȣ̀ς πόδας τȣ̃ φιλοχρίστȣ στρατȣ̃ αὐτȣ̀ς, Τȣ̃ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ τȣ̃ μὴ παραδοθῆναι ἡμᾶς τοῖς ἐχθροῖς καὶ πολεμίοις ἡμῶν ἐκ τῆς δικαίας αὐτȣ̃ ὀργῆς, ἀλλ᾽ εἰς φυγὴν μεταποιῆσαι τὸ θράσος αὐτῶν καὶ τὴν δύναμιν αὐτῶν συντριβῆναι ὑπὸ τȣ̀ς πόδας ἡμῶν, Τȣ̃ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ τȣ̃ κατισχῦσαι τὸν φιλάγιον καὶ εὐσεβέστατον ἡμῶν Αὐτοκράτορα, καὶ τὸν λαὸν αὐτȣ̃ κατὰ τῶν ἐχθρῶν, τῶν μὴ δεχομένων τιμὴν καὶ δύναμιν θαυμάτων τῶν ἁγίων, παρὰ τȣ̃ ἐν ἁγίοις δοξαζομένȣ, Τȣ̃ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ τȣ̃ καταισχῦναι τὸ τῶν πολεμȣ́ντων ἡμᾶς βασίλειον, τῶν μὴ ἀνεχομένων ἰδεῖν τὸν σταυρὸν, καὶ δοξάσαι τὸν σταυροφόρον ἡμῶν Ἄνακτα, καὶ τὸν λαὸν αὐτȣ̃ ἐν τῇ κατ᾽ αὐτῶν νίκῃ, τῇ δυνάμει τȣ̃ σταυρȣ̃, Τȣ̃ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ τȣ̃ ἐπακȣ̃σαι ἐκ τῆς ἁγίας αὐτȣ̃ ἐκκλησίας φωνῆς καὶ ἀναστεναγμȣ̃ τῶν ἐν αἰχμαλωσίᾳ ὄντων ἀδελφῶν ἡμῶν, καὶ ῥύσασθαι αὐτȣ̀ς ἐκ τῆς ἐπικειμένης δȣλείας πρὸς αὐτὸν βοώντων, Τȣ̃ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ τȣ̃ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως. Καὶ τὰ λοιπά.

Ἀντιλαβȣ̃, σῶσον, ἐλέησον, Καὶ τὰ λοιπά.

Τῆς

Τῆς παναγίας ἀχράντȣ, ὑπερευλογημένης. Καὶ τὰ λοιπά.

Ἐκφώνως.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΚΤΕΝΕΙΣ ΜΕΤΑ ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ ΕΝ ΤΗ ΘΕΙΑ Λειτȣργίᾳ, ὡσαύτως καὶ εἰς τὸν ἑσπερινὸν, Καὶ εἰς τὸν Ὄρθρον.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν, εἴπωμεν.

Ὁ χορὸς, Κύριε ἐλέησον, γ.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σȣ, ἐπάκȣσον, καὶ ἐλέησον.

Ὁ χορὸς Κύριε ἐλέησον, γ.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σȣ, δεόμεθά σȣ, ἐπάκȣσον, καὶ ἐλέησον.

Ὁ χορὸς Κύριε ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τȣ̃ Εὐσεβεστάτȣ Αὐτοκρατορικωτάτȣ Μεγάλȣ Κυρίȣ ἡμῶν Ἰμπεράτορος πάσης Ῥωσσίας ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΥΛΙΔΟΥ, Κράτȣς, νίκης, Διαμονῆς, Ὑγείας, καὶ σωτηρίας Αὐτȣ̃, καὶ τὸν Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι, καὶ κατευοδῶσαι Αὐτὸν ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τȣ̀ς πόδας Αὐτȣ̃, πάντα ἐχθρὸν καὶ πολέμιον.



ΕΛΛΗΝΙΚΟΣ ... ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἔτι δεόμεθα ὑπὲρ τῆς Συζύγου Αὐτοῦ Εὐσεβεστάτης Κυρίας Ἰμπερατορίσσης ΕΛΙΣΑΒΕΤ ΑΛΕΞΙΑΔΟΣ.

Ἔτι δεόμεθα ὑπὲρ τῆς μητρὸς Αὐτοῦ Εὐσεβεστάτης Κυρίας Ἰμπερατορίσσης ΜΑΡΙΑΣ ΘΕΟΔΩΡΙΔΟΣ.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Εὐσεβοῦς Κυρίου Κεσαρίδου καὶ Μεγάλου Δουκός ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ τῆς Συζύγου Αὐτοῦ Εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΘΕΟΔΩΡΙΔΟΣ. Καὶ ὑπὲρ τῶν Εὐσεβῶν Κυρίων Μεγάλων Δουκῶν ΝΙΚΟΛΑΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ ΜΙΧΑΗΛ ΠΑΥΛΙΔΟΥ, καὶ τῆς Εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΜΑΡΙΑΣ ΠΑΥΛΙΔΟΣ, καὶ τοῦ Συζύγου Αὐτῆς. Καὶ ὑπὲρ τῆς Εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΙΚΑΤΕΡΙΝΗΣ ΠΑΒΛΙΔΟΣ, καὶ τοῦ Συζύγου Αὐτῆς. Καὶ ὑπὲρ τῆς Εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΠΑΥΛΙΔΟΣ.

Ἔτι δεόμεθα ὑπὲρ τῆς ἁγίας διοικούσης Συνόδου, καὶ τοῦ Πανιερωτάτου Μητροπολίτου ἡμῶν καὶ Ἐξάρχου Γαβριήλ, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων καὶ τὰ λοιπά.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας. καὶ τὰ λοιπά.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ τὰ λοιπά.

εἶτα τὰς εὐχὰς ταύτας.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ δυνατὸς καὶ ἰσχυρὸς ἐν πολέμοις, ἡμεῖς οἱ ἀνάξιοι Σὲ ἐπικαλούμεθα εἰς βοήθειαν καὶ ταπεινῶς ἱκετεύομεν. Ἀνάλαβε τὸ ὅπλον τῆς ἰσχύος σου, καὶ τὸν θυρεὸν τῆς ἐπισκέψεώς σου, καὶ ἀνάστηθι εἰς βοήθειαν ἡμῶν, καὶ τῷ φιλοχρίστῳ στρατῷ νίκας παράσχου κατὰ τῶν πολεμίων καὶ τρόπαια. μετὰ δακρύων δεόμεθά σου, ἐπά-

κουσον



κουσον, καὶ ἐλέησον.

Παντοκράτορ Βασιλεῦ καὶ Κύριε, τῇ παντοκρατορικῇ σου δυνάμει τὰ ὅπλα τῶν πολεμίων ἡμῶν, καὶ τὰς παγίδας αὐτῶν σύντριψον, καὶ τὸ θράσος αὐτῶν κατάβαλε, νίκας κατ' αὐτῶν καὶ τρόπαια τοῖς δούλοις σου χαριζόμενος, δεόμεθά σου παντοκράτορ Βασιλεῦ, ἐπάκουσον, καὶ ἐλέησον.

Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, καὶ ἅψαι τῶν καρδιῶν τῶν ἐχθρῶν ἡμῶν, ἵνα πρὸς σὲ τὸν Θεὸν τῆς εἰρήνης ἐπιστρέψωσι, τὸν ἀγαπῶντα τὸ πλάσμα του, ἡμᾶς δὲ τοὺς ἐλπίζοντας ἐπὶ σὲ ἐξελοῦ καὶ ῥῦσαι ἕνεκεν τοῦ ὀνόματός σου, δεόμεθά του, ἐπάκουσον, καὶ ἐλέησον.

Ἐκφώνως.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορὸς Ἀμήν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ἐκτενής.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ τὰ λοιπά.

Εἶτα προστίθησι καὶ ταῦτα.

Οὐκ ἐπὶ τῷ τόξῳ ἡμῶν ἐλπίζομεν Κύριε, οὐδὲ ἡ ῥομφαία ἡμῶν σώσει ἡμᾶς, ἀλλὰ τὴν σὴν παντοδύναμον βοήθειαν αἰτούμενοι, καὶ εἰς τὴν σὴν δυναστείαν θαῤῥοῦντες, κατὰ τῶν ἐχθρῶν

ἡμῶν

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ἡμῶν κραταιούμεθα, καὶ τὸ ὄνομά σου τὸ ἅγιον ἐν πίστει ἐπικαλούμεθα, ἐν κατανύξει δεόμενοι, Παντοδύναμε Κύριε, ἐν ἐλέει καὶ οἰκτιρμοῖς ἐπάκουσον ἡμῶν, καὶ ἐλέησον ἡμᾶς.

Ὑπερασπιστὰ τῶν πιστῶν, ἐξαπόστειλον τὰ βέλη σου, καὶ τοὺς ἐχθροὺς ἡμῶν πάταξον, ἄστραψον ἀστραπὴν, καὶ διασκόρπισον αὐτοὺς, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, καὶ θραῦσον αὐτοὺς, καὶ παραδοὺς εἰς χεῖρας τοῦ πιστοῦ στρατοῦ σου, τῷ βασιλεῖ ἡμῶν καθυπόταξον. Δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ὁ διαμένων εἰς αἰῶνας εὔσπλαγχνε Κύριε, τοῖς εἰς τὴν κληρονομίαν σου ἐπερχομένοις, καὶ τὴν ἁγίαν σου Ἐκκλησίαν βεβηλοῦσιν ἐπιτίμησον, καταδίωξον αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σου ταραχθήτωσαν. πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, καὶ αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν εἰς αἰῶνα αἰῶνος, ἡ ὑπερηφανία αὐτῶν συντριβείη, καὶ τὸ ὄνομά σου τὸ ἅγιον δοξασθήτω ἐν ἡμῖν. Δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων, Καὶ τὰ λοιπά.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων, Καὶ τὰ λοιπά.

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

## ΕΚΤΕΝΗΣ.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, Καὶ τὰ λοιπά.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων, Καὶ τὰ λοιπά.

Ἐλέησον ἡμᾶς, Καὶ τὰ λοιπά.

Εἶτα προσθήσεις καὶ ταῦτα.

Κύριε



Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δυνατὸς καὶ ἰσχυρὸς ἐν πολέμοις, Σὲ ἐπικαλούμεθα εἰς βοήθειαν ἡμῶν ἡμεῖς οἱ ἀνάξιοι, καὶ ἐκτενῶς ἱκετεύομεν. ἐπιλαβοῦ ὅπλου ἰσχύος σου καὶ θυρεοῦ ἐπισκέψεώς σου, καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν ἡμῶν. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων ἡμᾶς. ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοι ἡμῖν κακά. Πεσέτωσαν ὑπὸ τοὺς πόδας τῶν πιστῶν σου, Δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ὁ τῷ Μωσῇ κατὰ Ἀμαλὴκ, καὶ Σαμψὼν κατὰ ἀλλοφύλων, καὶ Δαβὶδ κατὰ Γολιὰθ νίκην κραταιὰν δωρησάμενος, αὐτὸς καὶ νῦν ὡς δυνατὸς ἐν ἰσχύϊ τὰ ἐπανιστάμενα ἡμῖν τῶν εἰκονομάχων ἔθνη, θραῦσον, καὶ τὸ θράσος αὐτῶν εἰς φυγὴν καὶ δειλίαν μετάβαλε, καὶ ὑπὸ τοὺς πόδας τοῦ σταυροφόρου ἡμῶν Ἄνακτος, καὶ τοῦ φιλοχρίστου στρατοῦ Αὐτοῦ, αὐτὰ καθυπόταξον, δεόμεθά σου ἐπάκουσον, καὶ ἐλέησον.

Βοηθὲ Χριστὲ, καὶ λυτρωτὰ ἡμῶν, ἐλθὲ ἐν τάχει εἰς βοήθειαν ἡμῶν, ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ τὰ τόξα αὐτῶν εἰς τέλος ἀφάνισον. καὶ τῇ μεγαλωσύνῃ τῆς δόξης σου τὴν σκληροκαρδίαν αὐτῶν καταπράϋνον, ἵνα γνῶσιν, ὅτι ὄνομά σοι, Κύριος ὁ δυνατὸς ἐν πολέμοις, καὶ τῆς ἀθανότητος σκεπαστὴς ἕτοιμος. Τὸ δὲ κέρας τῶν ὀρθοδόξων χριστιανῶν ὕψωσον, καὶ ἐν ἡμῖν τοῖς σοῖς δούλοις δόξασόν σου τὸ Ὄνομα τὸ ἅγιον. Δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἔτι δεόμεθα καὶ τὰ λοιπά.

Ἐκφώνως.



Ὅτι

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός Ἀμήν.

Μετὰ δὲ τὴν ἐκφώνησιν, λέγει ὁ Διάκονος.

Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν εὐχὴν ταύτην.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, Σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, σῶσον τὸν Αὐτοκράτορα ἡμῶν ΑΛΕΞΑΝΔΡΟΝ ΠΑΥΛΙΔΗΝ, ὃν ἐδικαίωσας ἐπὶ τῆς γῆς βασιλεύειν. Φύλαξον Αὐτὸν ὑπὸ τὴν σκέπην τῆς σῆς χρηστότητος. Ὑπόταξον Αὐτῷ πάντα ἐχθρὸν, καὶ πολέμιον, χάρισαι Αὐτῷ εἰρηνικὴν ζωὴν, καὶ τὰ εὐάρεστά σοι ποιεῖν διὰ παντὸς καταξίωσον. Τοὺς διοικητὰς τοῦ Κράτους Αὐτοῦ, ἐν ὑπακοῇ, καὶ φόβῳ ἀπροσωπολήπτους συντήρησον. Τὸν στρατὸν Αὐτοῦ, κατὰ πάντων τῶν ἀντικειμένων ἐνίσχυσον. Τὸν λαὸν Αὐτοῦ ἐν εἰρήνῃ καὶ εὐφροσύνῃ διάγειν εὐδόκησον, πᾶν ἀγαθὸν εὐφορίας τῆς ἀπὸ γῆς, ἐν τῷ Κράτει Αὐτοῦ χαριζόμενος.

Ὅτι εὐλογητόν σου τὸ Πανάγιον ὄνομα, καὶ δεδοξασμένη σου ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορὸς, Ἀμήν.

ΠΑΡΑ



Γ

# ΠΑΡΑΚΛΗΣΙΣ ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ

Γίνεται δὲ οὕτως.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν, ὁ Ἱερεὺς ἐνδύεται Ἐπιτραχήλιον καὶ Φελόνιον, καὶ λαβὼν εἰς χεῖρας τὸν τίμιον Σταυρὸν, ἐξέρχεται, καὶ θεὶς αὐτὸν ἐπάνω τοῦ εὐτρεπισμένου Τετραποδίου, ἐφ᾽ ᾧ ἐπίκειται καὶ τὸ Ἱερὸν Εὐαγγέλιον, θυμιᾷ σταυροειδῶς. Εἶθ᾽ οὕτως, ἵσταται ἐν τῷ μέσῳ, καὶ ἐκφωνεῖ.

Δόξα τῇ Ἁγίᾳ καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων.

Οἱ ψάλται, Ἀμήν. καὶ τὸ, Βασιλεῦ οὐράνιε.

Εἶτα τὸ, Τρισάγιον, Δόξα, καὶ νῦν. Παναγία Τριάς, τὸ, Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, Καὶ τὰ λοιπά. τὸ, Κύριε ἐλέησον, ιβ΄. Δεῦτε προσκυνήσωμεν, γ. Καὶ ψάλλεται ὁ ἀκόλουθος, ριζ. ψαλμός.

ΨΑΛΜΟΣ, ΡΙΖ.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθός. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθὸς

θός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν.

Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος.

Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.

Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον.

Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσι.

Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου.

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.

Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με, δεξιὰ Κυρίου ἐποίησε δύναμιν.

Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα Κυρίου.

Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με.

Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ.

Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.

Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς





σωτηρίαν.

Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.

Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Ὦ Κύριε σῶσον δή, ὦ Κύριε εὐόδωσον δή.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου, Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.

Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σύ, καὶ ὑψώσω σε.

Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, γ.

Ὁ Διάκονος, ἄρχεται τῆς συνήθους συναπτῆς, ἢ ὁ ἱερεύς, ὡς ἐφεξῆς.

## ΣΥΝΑΠΤΗ ΜΕΓΑΛΗ.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός τό, Κύριε ἐλέησον.



...ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑ...

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος Κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας διοικητικῆς Συνόδου, καὶ τοῦ Πανιερωτάτου Μητροπολίτου ἡμῶν καὶ Ἐξάρχου Γαβριὴλ, τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας παντὸς τοῦ Κλήρου, καὶ τοῦ λαοῦ. Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Εὐσεβεστάτου Αὐτοκρατορικωτάτου Μεγάλου Κυρίου ἡμῶν Ἰμπεράτορος πάσης Ῥωσσίας ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΥΛΙΔΟΥ, Καὶ τῆς Συζύγου Αὐτοῦ Εὐσεβεστάτης Κυρίας Ἰμπερατορίσσης ΕΛΙΣΑΒΕΤ ΑΛΕΞΙΑΔΟΣ, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς μητρὸς Αὐτοῦ Εὐσεβεστάτης Κυρίας Ἰμπερατορίσσης ΜΑΡΙΑΣ ΘΕΟΔΩΡΙΔΟΣ. Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Εὐσεβοῦς Κυρίου Κεσαρίδου καὶ Μεγάλου Δουκὸς ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ τῆς Συζύγου Αὐτοῦ Εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΘΕΟΔΩΡΙΔΟΣ. Καὶ ὑπὲρ τῶν Εὐσεβῶν Κυρίων Μεγάλων Δουκῶν ΝΙΚΟΛΑΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ ΜΗΧΑΗΛ ΠΑΥΛΙΔΟΥ, καὶ τῆς Εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΜΑΡΙΑΣ ΠΑΥΛΙΔΟΣ, καὶ τοῦ Συζύγου Αὐτῆς. Καὶ ὑπὲρ τῆς Εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΙΚΑΤΕΡΙΝΗΣ ΠΑΒΛΙΔΟΣ, καὶ τοῦ Συζύγου Αὐτῆς. Καὶ ὑπὲρ τῆς Εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΠΑΥΛΙΔΟΣ, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατο-

στρατοπέδου

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘ
ΝΤΟΡΗΣ ΠΑΠΑ



πέδου αὐτῶν. Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρατίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, Τοῦ Κυ δεηθῶμεν.

Εἶτα συνάψεις καὶ τάδε.

Ὑπὲρ τοῦ τὰς εὐχαριστίας τῆς πρὸς ἡμᾶς αὐτοῦ χάριτος καὶ δωρεᾶς, τὰς νῦν αὐτῷ προσαγομένας, καὶ τὰς δεήσεις ἡμῶν τῶν ἁμαρτωλῶν προσδέξασθαι εἰς τὸ ὑπερουράνιον αὐτοῦ θυσιαστήριον, καὶ ἐν οἰκτιρμοῖς ἐλεῆσαι ἡμᾶς, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ μὴ ἀποστραφῆναι τὰς εὐχαριστίας ἡμῶν τῶν ἀναξίων αὐτοῦ δούλων, τὰς ὑπὲρ τῶν ἀγαθῶν, ὧν παρ' αὐτοῦ ἐλάβομεν προσαγομένας, ἀλλ' ὡς θυμίαμα εὐωδίας, καὶ ὁλοκάρπωμα θυσίας προσδέξασθαι τὰς τεταπεινωμένας ἡμῶν καρδίας καὶ εὐχάς, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἐπακοῦσαι καὶ νῦν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ τὰ θελήματα καὶ προσευχὰς τῶν εὐσεβῶν καὶ ὀρθοδόξων εἰς τέλος ἀγαθὸν ἐκπληρῶσαι, ὡς οἰκτίρμων καὶ φιλάγαθος Θεὸς ἡμῶν, καὶ ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις, καὶ παντὶ εὐσεβεῖ καὶ πιστῷ αὐτοῦ δούλῳ δωρηθῆναι τὰ πρὸς σωτηρίαν αἰτήματα, Τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ

Ὑπὲρ τοῦ ῥύσασθαι καὶ ἐξελέσθαι τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν, καὶ τοὺς δούλους αὐτοῦ, (ἢ τὸν δοῦλον αὐτοῦ, τὸν δεῖνα,) καὶ πάντας ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, ἀνάγκης, καὶ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν ἡμῶν, ὑγιείᾳ δὲ μακροημερεύσει, καὶ εἰρήνῃ, καὶ ἀγγέλων αὐτοῦ ὁπλισμῷ, τοὺς πιστοὺς αὐτοῦ ἀεὶ περιστοιχίσαι. Τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, Τοῦ Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης. Καὶ τὰ λοιπά.

Ἐκφώνως.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός Ἀμήν.

Μετὰ δὲ ταῦτα, ψάλλουσιν οἱ δύο χοροί, τὸ, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. εἰς ἦχον δ´. καὶ τὰ ἑξῆς Τροπάρια.

Εὐχαριστοῦμέν σοι ἀεὶ ἐκ καρδίας, τὰ σὰ ἐλέη καὶ τὰς εὐεργεσίας, ὁμολογοῦντες Δέσποτα οἱ δοῦλοί σου, πόθῳ μεγαλύνομεν, τὴν ἀγαθότητά σου καὶ εὐχαριστήρια, ἀναγράφομεν πάντες, τῶν δωρεῶν, ὧν ἔχομεν ἡμεῖς. Σὺ γὰρ ὑπάρχεις ἀγαθὸς καὶ φιλάνθρωπος,

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας





καρδίας, τὰ σὰ ἐλέη Δέσποινα οἱ δοῦλοί σου, κράζοντες καὶ λέγοντες, Παναγία παρθένε, πρόφθασον καὶ λύτρωσαι ἐξ ἐχθρῶν ἀοράτων, καὶ ἀναγκῶν, καὶ πάσης ἀπειλῆς. σὺ γὰρ ὑπάρχεις ἡμῶν ἡ ἀντίληψις,

Καὶ εὐθὺς μετὰ τὰ τροπάρια ταῦτα,

Ὁ Διάκονος.

Πρόσχωμεν. ὁ Ἱερεύς. Εἰρήνη πᾶσι. ὁ Ἀναγνώστης. Καὶ τῷ Πνεύματί σου. ὁ Διάκονος.

Σοφία πρόσχωμεν.

ὁ Ἀναγνώστης, Προκείμενον, ἦχος δ´.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Στίχ.

Πρὸς σὲ Κύριε κεκράξομαι ὁ Θεός μου.

Πρὸς Ἐφεσίους ἐπιστολῆς Παύλου, τὸ ἀνάγνωσμα.

Ἀδελφοὶ, ὡς τέκνα φωτὸς περιπατεῖτε. (ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ, καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ.) Δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν. Τὰ δὲ πάντα, ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς, φανεροῦται. πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι. Διὸ λέγει. Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε. Μὴ ὡς ἄσοφοι, ἀλλ᾽ ὡς σοφοί, Ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες. ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν Πνεύματι. Λαλοῦντες



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΚΕΝΤΟΡΗΣ ΠΑΠΑΣΤ...

ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς Πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ἡμῶν τῷ Κυρίῳ. Εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν τῷ Ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ καὶ Πατρὶ, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ.

Ἀλληλούϊα, γ.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου,

Στίχ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Ὁ παρὼν Ἀπόστολος, ἀναγινώσκεται ἐν Ἑορτῇ Βασιλικῇ μεγάλῃ. Καὶ εἰς τὰ Βασιλικὰ αὐτῶν Γενέθλια. Καὶ εἰς Νέον Ἔτος.

Προκείμενον, ἦχος, γ.

Μέγας ὁ Κύριος ἡμῶν καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

Στίχ. Αἰνεῖτε τὸν Κύριον ὅτι ἀγαθός.

Πρὸς Τιμόθεον, α. Ἐπιστολῆς.

Τέκνον Τιμόθεε, παρακαλῶ, πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ Βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ. Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, ᾧ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Οὗτος ὁ ἀπόστολος ἀναγινώσκεται εἰς Νικητηρίους ἡμέρας.

Ἀδελφοὶ



Ἀδελφοὶ, τῷ Θεῷ χάρις, τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι᾽ ἡμῶν ἐν παντὶ τόπῳ. Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις. Οἷς μὲν ὀσμὴ θανάτου, εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς, εἰς ζωήν. καὶ πρὸς ταῦτα τίς ἱκανός; τῷ δὲ Βασιλεῖ τῶν αἰώνων, τῷ ἀσπίλῳ, τῷ ἀοράτῳ καὶ μόνῳ Θεῷ, τιμὴ καὶ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα. καὶ τὰ λοιπά.

Ὁ Διάκονος. Σοφία ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἱερεύς, Εἰρήνη πᾶσι.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος, Πρόσχωμεν.

Κεφ. ιζ.

Τῷ καιρῷ ἐκείνῳ, εἰσερχομένου τοῦ Ἰησοῦ εἰς τινα κώμην, ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόῤῥωθεν. καὶ αὐτοὶ ἦραν φωνὴν, λέγοντες· Ἰησοῦ Ἐπιστάτα, ἐλέησον ἡμᾶς. καὶ ἰδὼν, εἶπεν αὐτοῖς· πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν, ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν. καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ. καὶ αὐτὸς ἦν Σαμαρείτης. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν. οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα, ποῦ; οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος; καὶ εἶπεν αὐτῷ. ἀναστὰς, πορεύου. ἡ πίστις σου σέσωκέ σε.

Εἰς

Εἰς Νέον Ἔτος.

Ἐκ τοῦ κατὰ Λουκᾶν, ις.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Ναζαρέτ, οὗ ἦν τεθραμμένος. καὶ εἰσῆλθε, κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν Σαββάτων εἰς τὴν συναγωγήν. καὶ ἀνέστη ἀναγνῶναι, καὶ ἐπεδόθη αὐτῷ Βιβλίον Ἡσαΐου τοῦ Προφήτου. καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον. Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν. καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε. καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ. Ἤρξατο δὲ λέγειν πρὸς αὐτούς. Ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. καὶ πάντες ἐμαρτύρουν αὐτῷ. καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς Χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ.

Καὶ μετὰ τὸ Εὐαγγέλιον, ὁ Διάκονος λέγει τὴν Ἐκτενῆ.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

ὁ χορὸς, Κύριε ἐλέησον. γ.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Εὐσεβεστάτου Αὐτοκρατορικωτάτου Μεγάλου Κυρίου ἡμῶν Ἰμπεράτορος πάσης Ῥωσσίας ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΥΛΙΔΟΥ, Κράτους, νίκης, Διαμονῆς, Ὑγείας, καὶ σωτηρίας Αὐτοῦ, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι, καὶ κατευοδῶσαι Αὐτὸν ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας Αὐτοῦ, πάντα ἐχθρὸν καὶ πολέμιον.



Ἔτι δεόμεθα ὑπὲρ τῆς Συζύγου Αὐτοῦ εὐσεβεστάτης Κυρίας Ἰμπερατορίσσης ΕΛΙΣΑΒΕΤ ΑΛΕΞΙΑΔΟΣ.

Ἔτι δεόμεθα ὑπὲρ τῆς μητρὸς Αὐτοῦ εὐσεβεστάτης Κυρίας Ἰμπερατορίσσης ΜΑΡΙΑΣ ΘΕΟΔΩΡΙΔΟΣ.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς Κυρίου Καισαρίδου καὶ Μεγάλου Δουκὸς ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ τῆς Συζύγου Αὐτοῦ εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΘΕΟΔΩΡΙΔΟΣ. Καὶ ὑπὲρ τῶν εὐσεβῶν Κυρίων Μεγάλων Δουκῶν ΝΙΚΟΛΑΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ ΜΗΧΑΗΛ ΠΑΥΛΙΔΟΥ, καὶ τῆς εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΜΑΡΙΑΣ ΠΑΥΛΙΔΟΣ, καὶ τοῦ Συζύγου Αὐτῆς. Καὶ ὑπὲρ τῆς εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΙΚΑΤΕΡΙΝΗΣ ΠΑΒΛΙΔΟΣ, καὶ τοῦ Συζύγου Αὐτῆς. Καὶ ὑπὲρ τῆς εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΠΑΥΛΙΔΟΣ.

Ὁ χορὸς, Κύριε ἐλέησον. γ.

Ἔτι δεόμεθα ὑπὲρ τῆς ἁγιωτάτης Διοικούσης Συνόδου, Καὶ τοῦ πανιερωτάτου Μητροπολίτου ἡμῶν καὶ Ἐξάρχου Γαβριήλ, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων Κτιτόρων, καὶ τὰ λοιπά.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας. καὶ τὰ λοιπά,

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ τὰ λοιπά.

Εἶτα καὶ ταῦτα.

Εὐχαριστοῦμέν σοι Κύριε, ὁ Θεὸς ὁ Σωτὴρ καὶ Δεσπότης

ἡμῶν· ἐν φόβῳ καὶ τρόμῳ· ὅτι τὰς εὐεργετίας καὶ τὰ σὰ ἐλέη ἐξέχεας πλουσία ἐφ᾽ ἡμᾶς τοὺς ταπεινοὺς δούλους σου. Διὸ προσπίπτομέν σοι ὡς μόνῳ Θεῷ, ὕμνον καὶ δοξολογίαν προσάγοντες, καὶ εὐχαρίστως βοῶντες. Τὰ αἰτήματα τῶν δούλων σου πρὸς τὸ συμφέρον πλήρωσον, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως ῥυόμενος· ἐκτενῶς δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

ὁ χορὸς Κύριε ἐλέησον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἐλέει καὶ οἰκτιρμοῖς ἤδη τὰς δεήσεις τῶν σῶν δούλων ἐπακούσας, αὐτὸς καὶ νῦν μὴ ὑπερίδῃς ἡμᾶς, ἀλλὰ πλήρωσον καὶ τοῦ λοιποῦ τὰ πρὸς σωτηρίαν αἰτήματα τῶν πιστῶν σου, εἰς δόξαν Σήν, πλούσια τὰ ἐλέη σου ἡμῖν χαριζόμενος, παρορῶν τὰς ἀνομίας ἡμῶν. Δεόμεθά σου ἐπάκουσον, καὶ ἐλέησον.

ὁ χορὸς Κύριε ἐλέησον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, τὰς εὐχαριστηρίους ταύτας καὶ ἱκετηρίους ἐντεύξεις πρόσδεξαι παρὰ τῶν σῶν δούλων, ὡς θυμίαμα εἰς ὀσμὴν εὐωδίας, καὶ ὡς ὁλοκάρπωμα θυσίας ἐνώπιον τῆς σῆς μεγαλωσύνης καὶ δόξης. καὶ κατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν τὴν ἁγίαν σου ἐκκλησίαν (ἢ τὸν οἶκον τοῦτον, ἢ τὴν πόλιν ταύτην, ἢ τὴν χώραν ταύτην) ῥυόμενος, καὶ τὸν παρόντα λαόν σου ἀναμάρτητον, ὑγιαίνοντα, μακροημερεύοντα, καὶ εἰς πᾶν ἔργον ἀγαθὸν προκόπτοντα καταξίωσον. οἰκτίρμον Βασιλεῦ δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

ὁ χορὸς, Κύριε ἐλέησον γ.

Ἐκφώ-



Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ προσκυνήσας ὁ Διάκονος τρὶς ἐνώπιον τοῦ ἁγίου Θυσιαστηρίου, φησὶν, Τοῦ Κυρίου δεηθῶμεν,

ὁ Χορὸς, Κύριε ἐλέησον,

Ὁ δὲ Ἱερεὺς μετὰ προσοχῆς, καὶ συντριβῆς τῆς καρδίας, λέγει τὴν εὐχὴν ταύτην Μεγαλοφώνως, Ἱστάμενος.
Ἢν δὲ τὰ πρὸς Κύριον ἡμῶν αἰτήματα ὅτι τάχιστα τύχωσι πληρωθέντα, τότε ὁ Διάκονος μετὰ συντριβῆς τῆς καρδίας καὶ ταπεινώσεως, λέγει,
Ἔτι καὶ ἔτι κλίνοντες τὰ Γόνατα, μετὰ ταπεινῆς τῆς εὐχαριστίας, Τοῦ Κυρίου δεηθῶμεν.

ὁ Χορὸς, Κύριε ἐλέησον.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς παντὸς ἐλέους καὶ οἰκτιρμῶν, οὗ τὸ ἔλεος ἄπειρον, καὶ τὸ τῆς φιλανθρωπίας πέλαγος ἀνεξιχνίαστον, Σοῦ δεόμεθα, καὶ Σοὶ προσπίπτοντες ἐν φόβῳ, καὶ τρόμῳ, τῷ τῶν ἀγαθῶν δοτῆρι, τὴν κατὰ δύναμιν Δοξολογίαν καὶ εὐχαριστίαν, ὑπὲρ τῶν εὐεργετιῶν τῶν εἰς ἡμᾶς (ἢ τὸν δοῦλόν σου τὸν δεῖνα) γεγενημένων, ἐν ταπεινότητι προσάγομεν, ὡς Θεῷ, Δεσπότῃ, καὶ εὐεργέτῃ ἡμῶν· Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν, καὶ μεγα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ … ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μεγαλύνομεν τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα· καὶ πάλιν προσπίπτοντες ἐνώπιόν σου εὐχαριστοῦμέν σοι, καὶ τὴν ἄμετρον καὶ ἀνεκδιήγητον εὐσπλαγχνίαν σου ταπεινῶς ἱκετεύοντες, ἵν' ὥσπερ νῦν τὰς δεήσεις τῶν δούλων σου προσδέξασθαι, καὶ ἐν ἐλέει ἐκπληρῶσαι κατηξίωσας, οὕτω καὶ τοῦ λοιποῦ ἕως εἰς τὴν τῶν ἠγαπημένων σοι χορείαν φθάσαι, καὶ πάντων τῶν ἀγαθῶν, τῶν τε ἐπουρανίων, καὶ ἐπιγείων τυχεῖν ἐν τῇ ἀγαθότητί σου καταξιωθῆναι. Ταύτῃ διὰ τῆς μεγάλης σου εὐσπλαγχνίας πάντας τοὺς εὐσεβεῖς εἰς πᾶν ἔργον ἀγαθὸν ὁδήγησον, τὴν ἁγίαν σου Ἐκκλησίαν, καὶ τὴν πόλιν ταύτην, (ἢ τὴν χώραν ταύτην, ἢ τὸν οἶκον τοῦτον,) ἀπὸ πάσης ἐπηρείας καὶ ἀντικειμένης δυνάμεως ῥῦσαι, καὶ διαφύλαξον. καὶ Σοὶ πρεπόντως δόξαν, καὶ εὐχαριστίαν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι τῷ ἐν μιᾷ τῇ οὐσίᾳ συνδοξαζομένῳ Θεῷ, καθ' ἡμέραν προσφέρειν λέγειν τε ἀδιαλείπτως, καὶ ψάλλειν τὰ εὐάρεστα ἐνώπιόν σου καταξίωσον.

Καὶ εὐθὺς ὁ Ἱερεὺς μεγάλῃ τῇ φωνῇ λέγει.

Δόξα τῷ Θεῷ ἡμῶν, τῷ τῶν ἀγαθῶν δοτῆρι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Οἱ δὲ κληρικοὶ ἱστάμενοι ἐξ ἀμφοτέρων τῶν μερῶν τῆς ἐκκλησίας, λέγουσιν, Ἀμήν.

Καὶ μετὰ ταῦτα, εὐθέως ψάλλεται ἡ Δοξολογία ἡ μεγάλη αὕτη.

Δόξα



Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, καὶ [illegible] τὸ ἅγιος ὁ Θεὸς, κατὰ τὸ σύνηθες.

Εἰ δὲ θέλει, ἀντὶ ταύτης, ψάλλε τὴν Δοξολογίαν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀμβροσίου, Ἀρχιεπισκόπου Μεδιολάνων.

Ταύτην.

Σὲ Θεὲ ὑμνοῦμεν, Σὲ Κύριε δοξολογοῦμεν.
Σὲ τὸν αἰώνιον Πατέρα πᾶσα ἡ γῆ μεγαλύνει.
Σοὶ Πάντες οἱ ἄγγελοι, σοὶ οἱ οὐρανοὶ, καὶ πᾶσαι αἱ δυνάμεις. Σοὶ τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ ἀκαταπαύστῳ φωνῇ ψάλλουσιν, Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ.
Πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς μεγαλωσύνης τῆς δόξης σου.
Σὲ ὁ ἔνδοξος χορὸς τῶν Ἀποστόλων,
Σὲ τῶν Προφητῶν ὁ αἰνετὸς σύλλογος,
Σὲ τὰ τῶν μαρτύρων ἐξαστράπτοντα στίφη ὑμνοῦσιν.
Σὲ τὸν ὑψίστων πάντων ἡ ἁγία δοξολογεῖ ἐκκλησία.
Τὸν Πατέρα τῆς ἀμετρήτου μεγαλωσύνης.
Τὸν προσκυνητὸν σὸν ἀληθῆ καὶ μονογενῆ Υἱόν.
Καὶ τὸ ἅγιον παράκλητον Πνεῦμα.
Σὺ ὁ Βασιλεὺς τῆς δόξης Χριστός.
Σὺ τοῦ Πατρὸς ὁμοούσιος καὶ συναΐδιος Υἱός.
Σὺ τὸν ἄνθρωπον σῶσαι θελόμενος, οὐκ ἐβδελύξω γαστέρα παρθενικήν.
Σὺ τὸ κέντρον τοῦ θανάτου ἤμβλυνας.
Σὺ τὴν Βασιλείαν τῶν οὐρανῶν τοῖς εἰς Σὲ πιστεύουσιν ἤνεωξας.



Σὺ

Σὺ ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος ἐν τῇ δόξῃ τοῦ Πατρός, Κριτὴς πιστεύῃ πάλιν ἐλεύσεσθαι.
Σὲ τοίνυν δεόμεθα· βοήθησον τοῖς δούλοις σου, οὓς τῷ τιμίῳ σου αἵματι ἐξηγόρασας.
Καταξίωσον αὐτοὺς ἐν τῇ αἰωνίῳ σου δόξῃ τοῖς ἁγίοις σου συμβασιλεύειν.
Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
Καὶ ποίμανον αὐτούς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος. καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Διὰ παντὸς Σὲ εὐλογοῦμεν, καὶ ὑμνοῦμεν τὸ ὄνομά σου, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Καταξίωσον Κύριε ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
Ἐλέησον ἡμᾶς ὁ Θεὸς ἐλέησον ἡμᾶς.
Γένοιτο Κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
Ἐπὶ σοὶ Κύριε ἠλπίσαμεν, μὴ καταισχύνῃς ἡμᾶς εἰς τὸν αἰῶνα. Ἀμήν.

Καὶ εὐθὺς γίνεται ἡ συνήθης Ἀπόλυσις, κατὰ τὴν ἡμέραν. Ὁ δὲ Διάκονος στὰς ἐν μέσῳ κατέναντι τῶν ἁγίων θυρῶν, λέγει μεγαλοφώνως εἰς ἐπήκοον πάντων.

Τῷ εὐσεβεστάτῳ, Αὐτοκρατορικωτάτῳ Μεγάλῳ Κυρίῳ ἡμῶν, Ἰμπεράτορι Πάσης Ρωσσίας ΑΛΕΞΑΝΔΡΩ ΤΩ ΠΑΥΛΙΔΗ, Δὸς Κύριε Μακρότητα ἡμερῶν, Ζωὴν εἰρηνικήν, ὑγείαν, σωτηρίαν, καὶ ἐν πᾶσιν ἀγαθὴν εὐόδωσιν, κατὰ δὲ ἐχθρῶν, Νίκας καὶ τρόπαια, καὶ φύλαξον Αὐτὸν

Εἰς

Εἰς πολλὰ ἔτη.



Οἱ ψάλται ᾄδουσι τό, Πολλὰ τὰ Ἔτη, γ.

Καὶ τῇ συζύγῳ Αὐτοῦ εὐσεβεστάτῃ Κυρίᾳ Ἰμπερατορίσσῃ ΕΛΙΣΑΒΕΤ ΑΛΕΞΙΑΔΙ, Πολλὰ τὰ ἔτη.

Οἱ ψάλται, ᾄδουσι γ, Πολλὰ τὰ ἔτη.

Καὶ τῇ μητρὶ Αὐτοῦ εὐσεβεστάτῃ Κυρίᾳ Ἰμπερατορίσσῃ ΜΑΡΙΑ ΘΕΟΔΩΡΙΔΙ. Πολλὰ τὰ ἔτη.

Οἱ χοροὶ ψάλλουσι, Πολλὰ τὰ ἔτη, γ.

Καὶ τῷ εὐσεβεῖ Κυρίῳ Καισαρίδῃ Μεγάλῳ Δουκὶ ΚΩΝΣΤΑΝΤΙΝΩ ΠΑΥΛΙΔΗ, Καὶ τῇ συζύγῳ Αὐτοῦ εὐσεβεῖ Κυρίᾳ Μεγάλῃ Δουκίσσῃ ΑΝΝΗ ΘΕΟΔΩΡΙΔΙ. Καὶ τοῖς εὐσεβέσι Κυρίοις Μεγάλοις Δουξὶ ΝΙΚΟΛΑΩ ΠΑΥΛΙΔΗ, Καὶ ΜΙΧΑΗΛ ΠΑΥΛΙΔΗ, Καὶ τῇ εὐσεβεῖ Κυρίᾳ Μεγάλῃ Δουκίσσῃ ΜΑΡΙΑ ΠΑΥΛΙΔΙ, Καὶ τῷ συζύγῳ αὐτῆς, Καὶ τῇ εὐσεβεῖ Κυρίᾳ Μεγάλῃ Δουκίσσῃ ΑΙΚΑΤΕΡΙΝΗ ΠΑΥΛΙΔΙ, Καὶ τῷ Συζύγῳ αὐτῆς, Καὶ τῇ εὐσεβεῖ Κυρίᾳ Μεγάλῃ Δουκίσσῃ ΑΝΝΗ ΠΑΥΛΙΔΙ, Πολλὰ τὰ ἔτη.

Οἱ χοροὶ ψάλλουσιν ὁμοίως, Πολλὰ τὰ ἔτη, γ.

Τούτων δὲ λεγομένων, ὁ Ἱερεὺς ἱστάμενος κατέναντι τῶν ἁγίων θυρῶν, καὶ πρὸς δυσμὰς ὁρῶν καὶ τὸν τίμιον σταυρὸν μετὰ χεῖρας ἔχων, ἅμα τῷ εἰπεῖν τὸν Διάκονον, Πολλὰ τὰ ἔτη, εὐλογεῖ μετὰ τοῦ Τιμίου σταυροῦ, τουτέστι χαράττει Σταυρόν, πρῶτον μὲν πρὸς ἀνατολάς, ἔπειτα δὲ πρὸς δυσμάς, τρίτον πρὸς βορρᾶν, καὶ τελευταῖον κατὰ τὸ Νότιον.

Τοῦτο

Τοῦτο δὲ ποιεῖ, ὁσάκις ἂν καὶ τό, Πολλὰ τὰ ἔτη ὑπὸ τοῦ Διακόνου ῥηθῇ· ἔπειτα μετὰ τὸ τέλος, προσφέρει τὸν Σταυρὸν τῷ πρώτῳ τῶν παρισαμένων, καὶ ἀσπάζεται αὐτὸν ἐκεῖνος. Καὶ τοῖς λοιποῖς ἐφεξῆς, κατὰ τάξιν. Καὶ τούτων πληρωθέντων εἰσέρχεται ὁ Ἱερεὺς εἰς τὸ ἅγιον Βῆμα, καὶ ἀποδύεται τὰ Ἱερὰ ἄμφια, καὶ ἀπέρχεται εἰς τὰ Ἴδια, ὑμνῶν καὶ εὐλογῶν τὸν Θεὸν ἐν τῇ καρδίᾳ αὐτοῦ.

Τέλος, Καὶ τῷ Θεῷ τῷ τῶν ἀγαθῶν δοτῆρι Δόξα.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



## ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΠΡΟΣ ΘΕΟΝ ΔΕΗΣΙΣ ΨΑΛΛΟΜΕΝΗ ΜΑΡΤΙΟΥ, ΙΒ. ΕΠΙ ΤΗ ΑΝΑΓΟΡΕΥΣΕΙ ΤΟΥ ΒΑΣΙΛΕΩΣ, ΚΑΙ ΣΕΠΤΕΜΒΡΙΟΥ, ΙΕ. ΕΠΙ ΤΗ ΣΤΕΨΕΙ ΑΥΤΟΥ.

Ὁ Ἀρχιερεὺς, ἢ ὁ Ἱερεὺς ἄρχεται.

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορὸς, Ἀμήν,

Καὶ οἱ Κληρικοὶ λέγουσι τό, Βασιλεῦ οὐράνιε παράκλητε. Καὶ τὰ λοιπά. Ὁ Ἀναγνώστης τό, Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν. Ὅτι Σοῦ ἐστίν. Κύριε ἐλέησον ιβ. Δεῦτε προσκυνήσωμεν, γ. Εἶτα ψάλλεται ὁ ἑξῆς ψαλμός. Κ.

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.
Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.
Ὅτι πρόφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.
Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.
Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν,
Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος.

εὐφρανεῖς αὐτῶν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.
Ὅτι ὁ Βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ.

Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου· ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.
Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον Πυρὸς, εἰς καιρὸν τοῦ προσώπου σου. Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς Πῦρ.

Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.
Ὅτι ἔκλιναν εἰς σὲ κακὰ, διελογίσαντο βουλὰς, αἷς οὐ μὴ δύνωνται στῆναι.

Ὅτι θήσεις αὐτοὺς νῶτον, ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.

Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου, ᾄσομεν, καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Δόξα καὶ νῦν. Ἀλληλούια, γ. Δόξα σοι ὁ Θεὸς ἡμῶν
Δόξα σοι.

Μετὰ δὲ ταῦτα ὁ Διάκονος λέγει τὰ εἰρηνικά.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος Κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, Τοῦ Κυρίου δεηθῶμεν

Ὑπὲρ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑ



Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς ἁγίας διοικούσης Συνόδου, καὶ τοῦ Πανιερωτάτου Μητροπολίτου ἡμῶν καὶ Ἐξάρχου Γαβριὴλ, τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας παντὸς τοῦ Κλήρου, καὶ τοῦ λαοῦ. Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ εὐσεβεστάτου Αὐτοκρατορικωτάτου Μεγάλου Κυρίου ἡμῶν Ἰμπεράτορος πάσης Ῥωσσίας ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΥΛΙΔΟΥ, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ἐστηριγμένον εἶναι τῇ δεξιᾷ τοῦ ὑψίστου τὸ Σκῆπτρον Αὐτοῦ, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ δεχθῆναι Αὐτὸν δύναμιν ἐξ οὐρανοῦ καὶ σοφίαν, εἰς διεύθυνσιν καὶ δικαιοκρισίαν, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ εὐόδωσιν ἐν πᾶσι, καὶ πολυχρόνιον τὴν Βασιλείαν Αὐτοῦ, Τοῦ Κυρίου δεηθῶμεν.
Ὅπως Κύριος ἐπακούσῃ αὐτοῦ ἐν ἡμέρᾳ θλίψεως, καὶ ὑπερασπίσηται αὐτοῦ τὸ Ὄνομα τοῦ Θεοῦ Ἰακώβ. Τοῦ Κυρίου δεηθῶμεν.
Ὅπως καταπέμψῃ αὐτῷ βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβηται αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν.
Ὅπως δῴη Αὐτῷ κατὰ τὴν καρδίαν αὐτοῦ, καὶ πᾶσαν τὴν βουλὴν αὐτοῦ πληρώσῃ. Τοῦ Κυρίου δεηθῶμεν.
Ὅπως τοὺς ὑπηκόους Αὐτῷ διοικητὰς, ἀδωροδοκήτους καὶ ἀπροσωπολήπτους διαφυλάξῃ. Τοῦ Κυρίου δεηθῶμεν.
Ὅπως Κύριος ὁ Θεὸς τῶν δυνάμεων στερεώσῃ τὰ Ὅπλα Αὐτοῦ, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ὑποτάξαι Αὐτῷ πάντα ἐχθρὸν καὶ πολέμιον, Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς Πόλεως ταύτης, πάσης πόλεως καὶ χώρας,

καὶ

καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς.
καὶ καιρῶν εἰρηνικῶν. Τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων,
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης,
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον,
Τῆς Παναγίας ἀχράντου ὑπερευλογημένης,

ἘΚΦΏΝΗΣΙΣ.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός Ἀμήν.

Μετὰ δὲ ταῦτα, ψάλλουσιν οἱ δύω χοροὶ, τὸ, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. εἰς ἦχον δ. καὶ τὰ ἑξῆς τροπάρια.

Εὐχαριστοῦμεν σοὶ ἀεὶ ἐκ καρδίας, τὰ σὰ ἐλέη καὶ τὰς εὐεργεσίας, ὁμολογοῦντες Δέσποτα οἱ δοῦλοι σου, πόθῳ μεγαλύνομεν, τὴν ἀγαθότητά σου, καὶ εὐχαριστήρια, ἀναγράφομεν πάντες, τῶν δωρεῶν, ὧν ἔχομεν ἡμεῖς. Σὺ γὰρ ὑπάρχεις ἀγαθὸς καὶ φιλάνθρωπος,

Δόξα, ἦχος, α.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Νίκας τῷ εὐσεβεστάτῳ Βασιλεῖ ἡμῶν, ΑΛΕΞΑΝΔΡΩ ΠΑΥΛΙΔΗ κατὰ Βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Καὶ νῦν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Καὶ νῦν, ἦχος δ.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός. εὔφρανον ἐν τῇ δυνάμει σου τὸν πιστὸν Βασιλέα ἡμῶν ΑΛΕΞΑΝΔΡΟΝ ΠΑΥΛΙΔΗΝ. Νίκας χορηγῶν αὐτῷ κατὰ τῶν πολεμίων. Τὴν συμμαχίαν ἔχοι δὴ τὴν σὴν ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Ὁ Διάκονος, Πρόσχωμεν, ὁ Ἱερεὺς, εἰρήνη πᾶσι, ὁ Ἀναγνώστης. Καὶ τὸ πνεύματί σου. Προκείμενον ἦχος, δ. Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

Στίχ. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.

Ὁ Διάκονος, Σοφία. ὁ Ἀναγνώστης,
Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου, τὸ ἀνάγνωσμα.
ὁ Διάκονος, Πρόσχωμεν.

Ἀδελφοὶ, πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ γὰρ ἔστιν ἐξουσία, εἰ μὴ ἀπὸ Θεοῦ. αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ Θεοῦ τεταγμέναι εἰσίν. ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν. Οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται. Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Θεοῦ γὰρ διάκονος ἐστὶ σοι εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ. οὐ γὰρ εἰκῇ

τὴν μάχαιραν φορεῖ. Θεοῦ γὰρ διάκονός ἐστιν ἔκδικος εἰς ὀργὴν τῷ κακὸν πράττοντι. Διὸ ἀνάγκη ὑποτάττεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε. Λειτουργοὶ γὰρ Θεοῦ εἰσίν, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον, τὸν φόρον. τῷ τὸ τέλος, τὸ τέλος. Τῷ τὸν φόβον, τὸν φόβον. Τῷ τὴν τιμήν, τὴν τιμήν.

Ἀλληλούϊα, γ'. ὁ Διάκονος, Σοφία ὀρθοὶ ἀκούσωμεν τοῦ Ἁγίου Εὐαγγελίου.

ὁ Ἱερεύς, Εἰρήνη πᾶσιν.

Ἐκ τοῦ κατὰ Ματθαῖον Ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ χορός, Δόξα σοι Κύριε Δόξα σοι.

ὁ Διάκονος, Πρόσχωμεν.

ὁ Ἱερεύς.

Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον οἱ Φαρισαῖοι κατὰ τοῦ Ἰησοῦ, ὅπως παγιδεύσωσιν αὐτὸν ἐν λόγῳ. καὶ ἀποστέλλουσιν αὐτῷ, τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν λέγοντες. Διδάσκαλε, οἴδαμεν, ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις. καὶ οὐ μέλει σοι περὶ οὐδενός. οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. εἰπὲ οὖν ἡμῖν. Τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ; γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπε. Τί με πειράζετε ὑποκριταί. Ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. Καὶ λέγει αὐτοῖς, τίνος ἡ εἰκὼν αὕτη, καὶ ἡ ἐπιγραφή; λέγουσιν Αὐτῷ Καίσαρος. Τότε λέγει αὐτοῖς, ἀπόδοτε οὖν τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν. Καὶ

ἀφέντες

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ἀφέντες αὐτὸν ἀπῆλθον.

Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ Ἱεροῦ Εὐαγγελίου,

ὁ χορός, Δόξα σοι Κύριε δόξα σοι.

Καὶ ὁ Διάκονος λέγει τὴν Ἐκτενῆ.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

ὁ χορός, Κύριε ἐλέησον. γ'.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Εὐσεβεστάτου Αὐτοκρατορικωτάτου Μεγάλου Κυρίου ἡμῶν Ἰμπεράτορος ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΥΛΙΔΟΥ πάσης Ρωσσίας, Κράτους, νίκης, Διαμονῆς, Ὑγείας, καὶ σωτηρίας Αὐτοῦ, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι, καὶ κατευοδῶσαι Αὐτὸν ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας Αὐτοῦ, πάντα ἐχθρὸν καὶ πολέμιον.

Ὁ χορός, Κύριε ἐλέησον. γ'.

Ἔτι δεόμεθα ὑπὲρ τῆς Συζύγου Αὐτοῦ Εὐσεβεστάτης Κυρίας Ἰμπερατορίσσης ΕΛΙΣΑΒΕΤ ΑΛΕΞΙΑΔΟΣ.

ὁ χορὸς Κύριε ἐλέησον. γ'.

Ἔτι δεόμεθα ὑπὲρ τῆς μητρὸς Αὐτοῦ Εὐσεβεστάτης Κυρίας Ἰμπερατορίσσης ΜΑΡΙΑΣ ΘΕΟΔΩΡΙΔΟΣ.

ὁ χορὸς Κύριε ἐλέησον. γ'.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Εὐσεβοῦς Κυρίου Καισαρίδου καὶ Μεγάλου Δουκὸς ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ τῆς Συζύγου Αὐτοῦ Εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΘΕΟΔΩΡΙΔΟΣ. Καὶ ὑπὲρ τῶν Εὐσεβῶν Κυρίων Μεγάλων Δουκῶν ΝΙΚΟΛΑΟΥ ΠΑΥΛΙΔΟΥ, καὶ ΜΗΧΑΗΛ ΠΑΥΛΙΔΟΥ, καὶ

τῆς

τῆς εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΜΑΡΙΑΣ ΠΑΥΛΙΔΟΣ, καὶ τοῦ Συζύγου Αὐτῆς. Καὶ ὑπὲρ τῆς εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΙΚΑΤΕΡΙΝΗΣ ΠΑΥΛΙΔΟΣ, καὶ τοῦ Συζύγου Αὐτῆς. Καὶ ὑπὲρ τῆς εὐσεβοῦς Κυρίας Μεγάλης Δουκίσσης ΑΝΝΗΣ ΠΑΥΛΙΔΟΣ.

Ὁ χορός, Κύριε ἐλέησον. γ.

Ἔτι δεόμεθα ὑπὲρ τῆς ἁγιωτάτης Διοικούσης Συνόδου, Καὶ τοῦ πανιερωτάτου Μητροπολίτου ἡμῶν καὶ Ἐξάρχου Γαβριήλ, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον, γ.

Ἔτι δεόμεθα ὑπὲρ παντὸς τοῦ φιλοχρίστου Αὐτῶν στρατοῦ.

Κύριε ἐλέησον, γ.

Εἶτα καὶ ταῦτα.

Εὐχαριστοῦμέν σοι Κύριε, ὁ Θεὸς ὁ Σωτὴρ καὶ Δεσπότης ἡμῶν, ἐν φόβῳ καὶ τρόμῳ· ὅτι τὰς εὐεργεσίας καὶ τὰ σὰ ἐλέη ἐξέχεας πλούσια ἐφ᾽ ἡμᾶς τοὺς ταπεινοὺς δούλους σου. Διὸ προσπίπτομέν σοι ὡς μόνῳ Θεῷ, ὕμνον καὶ δοξολογίαν προσάγοντες, καὶ εὐχαρίστως βοῶντες. Τὰ αἰτήματα τῶν δούλων σου πρὸς τὸ συμφέρον πλήρωσον, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως ῥυόμενος· ἐκτενῶς δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός, Κύριε ἐλέησον, γ.

Ὁ ἀμέτρητος ἐν ἐλέει Θεὸς ἡμῶν, Δὸς τῷ εὐσεβεστάτῳ δούλῳ σου, Μεγάλῳ Κυρίῳ ἡμῶν, ὃν ἐδικαίωσας βασιλεύειν ἐφ᾽ ἡμᾶς τὴν Μωϋσέως προκοπήν, Δαβὶδ τὴν ἀνδρίαν, Καὶ Σολομῶντος τὴν σοφίαν εἰς δόξαν τοῦ Ὀνόματός σου.

Δεόμεθά σου



Δεόμεθά σου Παναγίε Βασιλεῦ, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός, Κύριε ἐλέησον, γ.

Ὁ πάντα ἐν σοφίᾳ ποιήσας, καὶ τὰ ποιηθέντα οἰκονομῶν, τὴν Αὐτοκρατορίαν τοῦ δούλου σου, τοῦ Μεγάλου Κυρίου ἡμῶν Ἰμπεράτορος ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΥΛΙΔΟΥ, στερέωσον. Καὶ τὴν ἐπιθυμίαν τῆς καρδίας Αὐτοῦ, καὶ τὰ αἰτήματα πλήρωσον, καὶ ὕψωσον Κέρας Χριστοῦ σου. Δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. Καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός, Ἀμήν,

Ὁ Διάκονος, Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα, Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ Ἀρχιερεύς, ἢ ὁ Ἱερεύς, κλίνας τὰ γόνατα ἐπεύχεται.

Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ, καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὰ σύμπαντα. Οὗ τοῖς πανσόφοις κρίμασιν ἡ τῶν ἀνθρώπων ζωὴ καὶ συμβίωσις διαφόρους ἐπιδέχεται ὅρους, εὐχαρίστως σοὶ ἐξομολογούμεθα. Οὐ γὰρ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησας ἡμῖν, οὐδὲ κατὰ τὰς



ἁμαρτίας

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ...

ἁμαρτίας ἡμῶν ἀνταπέδωκας ἡμῖν. ἡμάρτομεν Κύριε, ἠνομήσαμεν, καὶ τῆς ἐσχάτης ἀποστροφῆς σου ἄξιοι γεγόναμεν. Σὺ δὲ ἡ ἀνείκαστος ἀγαθότης, ἐλεήμων καὶ μακρόθυμε, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων Δέσποτα, παιδεύσας ἡμᾶς ἐν τῇ ἐπισκέψει τῆς γενομένης ἡμῖν μικρᾶς θλίψεως, χαρᾶς ἀφθόνου καὶ εὐφροσύνης ἐπλήρωσας τὰς καρδίας ἡμῶν, δικαιώσας Βασιλεύειν ἡμῶν, τὸν ἀγαπητόν σοι εὐσεβέστατον δοῦλόν σου τὸν Αὐτοκρατορικώτατον Μέγαν Κύριον ἡμῶν, καὶ Ἰμπεράτορα ΑΛΕΞΑΝΔΡΟΝ ΠΑΥΛΙΔΗΝ πάσης Ῥωσσίας. Φώτισον τοίνυν καὶ συνέτισον Αὐτὸν, ἀπροσκόπτως διελθεῖν τὴν Μεγάλην ταύτην σου ὑπηρεσίαν. χάρισαι Αὐτῷ φρόνησιν καὶ σοφίαν, ἵνα κρίνῃ τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ εὐθύτητι, καὶ τὴν κληρονομίαν σου ταύτην ἐν γαλήνῃ καὶ ἀταραξίᾳ διαφυλάττῃ. Ἀνάδειξον αὐτὸν κατ' ἐχθρῶν νικητήν. Καὶ τοῖς μὲν φαύλοις καὶ κακοποιοῖς φοβερὸν, τοῖς δὲ χρηστοῖς ἐλεήμονα, καὶ εὐέλπιστον. Θέρμανον τὴν καρδίαν αὐτοῦ εἰς ἐπίσκεψιν τῶν πενομένων, εἰς ὑποδοχὴν τῶν ξένων, εἰς ὑπεράσπισιν τῶν ἀδικουμένων. τοὺς δὲ ὑπηκόους αὐτῷ διοικητὰς εἰς ὁδὸν εὐθεῖαν καὶ ἀληθῆ ὁδήγησον. ἀδωροδοκήτους καὶ ἀπροσωπολήπτους διαφυλάττων. καὶ πάντα τὸν λαόν σου τὸν πεπιστευμένον τῷ κράτει Αὐτοῦ παρὰ σοῦ ἐν ἀνυποκρίτῳ ὑπακοῇ καὶ πίστει συντήρησον. ποίησον αὐτὸν Πατέρα εὐφρανθῆναι ἐπὶ τέκνοις αὐτοῦ. καὶ ἵνα θαυμασωθῇ τὰ ἐλέη σου ἐφ' ἡμᾶς, πλήθυνον τὰς ἡμέρας τῆς ζωῆς Αὐτοῦ ἐν ὑγιείᾳ ἀκεραίᾳ διηνεκεῖ τε καὶ ἀκλονήτῳ εὐημερίᾳ. χάρισαι καὶ ἡμῖν ἐν ταῖς ἡμέραις Αὐτοῦ εἰρήνην, Γαλήνην βαθεῖαν, καὶ εὐόδωσιν ἐν πᾶσιν, εὐκρατίας ἀέρων, εὐφορίαν τῶν καρπῶν τῆς γῆς, καὶ πάντα τὰ πρὸς τὸ συμφέρον ἡμῖν ἐντε τῷ παρόντι αἰῶνι καὶ μέλλοντι. σὺ

Κύριε



Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, καὶ μὴ καταισχύνῃς ἡμᾶς τῆς ἐλπίδος ἡμῶν τοὺς ἐλπίζοντας ἐπὶ σέ. Δεόμεθά σου, καὶ δεόμενοι ἐπὶ τοῖς σοῖς οἰκτιρμοῖς ἐλπίζομεν. Σὺ γὰρ μόνος οἶδας, ὧν χρείαν ἔχομεν, ὁ καὶ πρὸ τοῦ αἰτεῖσθαι τὰ αἰτήματα δωρούμενος, καὶ τὰ δωρηθέντα ἐμπεδῶν. Ὅτι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθεν ἐστὶ καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων. καὶ σοὶ δόξα πρέπει καὶ κράτος, σὺν τῷ Μονογενεῖ σου Υἱῷ, καὶ τῷ Παναγίῳ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων

Ἀμήν.

Μετὰ δὲ ταῦτα, ψάλλεται ἡ Δοξολογία ἡ Μεγάλη.
Δόξα ἐν ὑψίστοις Θεῷ, Καὶ τὰ λοιπά.
Ἢ ἀντὶ ταύτης ἡ Δοξολογία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀμβροσίου Ἐπισκόπου Μεδιολάνων, ἧδε,

Σὲ Θεὲ ὑμνοῦμεν, ὅρα ὄπισθεν, φύλ. κζ.
Καὶ μετὰ τὴν Δοξολογίαν, Ὁ Ἱερεὺς ποιεῖ τὴν συνήθη ἀπόλυσιν, μεθ' ἣν, ὁ Διάκονος λέγει μεγαλοφώνως εἰς ἐπήκοον πάντων τὸν πολυχρονισμὸν τῶν Βασιλέων οὕτω,

Τῷ εὐσεβεστάτῳ, Αὐτοκρατορικωτάτῳ Μεγάλῳ Κυρίῳ ἡμῶν, Ἰμπεράτορι Πάσης Ῥωσσίας ΑΛΕΞΑΝΔΡΩ ΤΩ ΠΑΥΛΙΔΗ, Δὸς Κύριε Μακρότητα ἡμερῶν, ζωὴν, εἰρηνικὴν, ὑγίειαν, σωτηρίαν, καὶ ἐν πᾶσιν ἀγαθὴν εὐόδωσιν, κατὰ δὲ ἐχθρῶν, Νίκας καὶ τρόπαια, καὶ φύλαξον αὐτὸν εἰς πολλὰ Ἔτη.

Οἱ χοροὶ ᾄδουσι τὸ, Πολλὰ τὰ ἔτη, γ.

Ἰστέον, ὅτι Βασιλικῆς ἑορτῆς οὔσης καὶ πανηγύρεως τῶν Γαληνοτάτων Βασιλικῶν ὀνομάτων, Τότε γίνεται Παράκλησις μετὰ τοῦ κανόνος τοῦ ἁγίου τῆς ἡμέρας. καὶ μετὰ τό, Θεὸς Κύριος, καὶ τὸ Τροπάριον τοῦ ἁγίου, καὶ Θεοτοκίον. εὐθὺς ὁ ν, ψαλμὸς, Ἐλέησόν με ὁ Θεός. Ἔπειτα ψάλλεται ὁ κανὼν τοῦ τυχόντος ἁγίου. ἐν τῇ γ, ᾠδῇ, γίνεται Ἐκτενής. καὶ μνημονεύονται ἅπαντα τὰ Γαληνότατα Βασιλικὰ ὀνόματα κατὰ τὸ σύνηθες, Ἐκφώνησις, Ὅτι ἐλεήμων. ἐν τῇ ς, ᾠδῇ, συναπτὴ μικρά, καὶ Ἐκφώνησις, Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης. τὸ κοντάκιον τοῦ ἁγίου. εἶτα λέγει ὁ Διάκονος, τοῦ Κυρίου δεηθῶμεν, ὁ δὲ Ἱερεύς. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, κ. τ. λ. ὁ Διάκονος, Πᾶσα πνοή. καὶ ὁ χορὸς ψάλλει αὐτὸ γ. ὁ Διάκονος, Πρόσχωμεν. ὁ δὲ Ἱερεὺς, εἰρήνη πᾶσι. Μετὰ ταῦτα ψάλλει ὁ χορός. Προκείμενον τοῦ Ἁγίου κατὰ τάξιν. εἶτα λέγει ὁ Διάκονος, καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς, καὶ τὰ λοιπά. Καὶ εὐθὺς τὸ Εὐαγγέλιον τοῦ ἁγίου τῆς ἡμέρας τοῦ Ὄρθρου. καὶ μετὰ τὸ Εὐαγγέλιον. Δόξα, Ταῖς τοῦ σοῦ ἁγίου πρεσβείαις, Καὶ νῦν, Τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός, καὶ Δόξα τοῦ ἁγίου, οἷον βούλει. Μετὰ ταῦτα, Σῶσον ὁ Θεὸς τὸν λαόν σου. καὶ ψάλλεται ὁ λοιπὸς κανών, καὶ μετὰ τὸν Εἱρμὸν τῆς ἐννάτης, Ἄξιόν ἐστιν, τό, Τρισάγιον. Μετὰ τὴν ἐκφώνησιν, Τροπάριον τοῦ ἁγίου, καὶ Θεοτοκίον. εἶτα ἡ ἐκτενής, ὡς ἐγένετο ἐν τῇ, γ, ᾠδῇ. καὶ ἀπόλυσις. Καὶ ὁ Πολυχρονισμὸς κατὰ τὴν τάξιν, ὡς ὄπισθεν γέγραπται ἐν τῇ Παρακλήσει.

Τέλος καὶ τῷ Θεῷ Δόξα.